### II

*Κλειοῦς αἱ δύο παῖδες, Ἀριστοδίκη καὶ Ἀμεινώ,*
*Κρῆσσαι, πότνια, σῆς, Ἄρτεμι, νειοκόρου,*
*τετραετεῖς, ἀπὸ μητρός. ἴδοις, ὤνασσα, τὰ τῆσδε*
*εὔτεκνα, κἀντὶ μιῆς θὲς δύο νειοκόρους.*

### III

*ὤλεσεν Αἰγαίου διὰ κύματος ἄγριος ἀρθεὶς*
*Λὶψ Ἐπιηρείδην Ὑάσι δυομέναις*
*αὐτῇ οἱ σὺν νηὶ καὶ ἀνδράσιν· ᾧ τόδε σῆμα*
*δακρύσας κενεὸν παιδὶ πατὴρ ἔκαμεν.*

## PHAENNUS

### I

*οὐκ ἔτλας, ὤριστε Λεωνίδα, αὖθις ἱκέσθαι*
*Εὐρώταν, χαλεπῷ σπερχόμενος πολέμῳ·*
*ἀλλ' ἐπὶ Θερμοπύλαισι τὸ Περσικὸν ἔθνος ἀμύνων*
*ἐδμάθης, πατέρων ἁζόμενος νόμιμα.*

### II

*Δαμοκρίτῳ μὲν ἐγώ, λιγυρὰν ὅκα μοῦσαν ἀνείην*
*ἀκρὶς ἀπὸ πτερύγων, τὸν βαθὺν ἆγον ὕπνον·*